κησιν ἐν τοῖς ἀνδράσιν τοῖς αὐτομολήσασιν, καὶ ἀνεστάλησαν τοῦ
ἐκπορεύεσθαι εἰς τὴν χώραν. [25]ὡς δὲ εἶδεν Ἄλκιμος ὅτι ἐνίσχυσεν 25
Ιουδας καὶ οἱ μετ᾽ αὐτοῦ, καὶ ἔγνω ὅτι οὐ δύναται ὑποστῆναι αὐ-
τούς, καὶ ἐπέστρεψεν πρὸς τὸν βασιλέα καὶ κατηγόρησεν αὐτῶν
πονηρά.

[26]Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Νικάνορα ἕνα τῶν ἀρχόντων αὐτοῦ 26
τῶν ἐνδόξων καὶ μισοῦντα καὶ ἐχθραίνοντα τῷ Ισραηλ καὶ ἐνετεί-
λατο αὐτῷ ἐξᾶραι τὸν λαόν. [27]καὶ ἦλθεν Νικάνωρ εἰς Ιερουσαλημ 27
δυνάμει πολλῇ, καὶ ἀπέστειλεν πρὸς Ιουδαν καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων [28]Μὴ ἔστω μάχη ἀνὰ 28
μέσον ἐμοῦ καὶ ὑμῶν· ἥξω ἐν ἀνδράσιν ὀλίγοις, ἵνα ἴδω ὑμῶν
τὰ πρόσωπα μετ᾽ εἰρήνης. [29]καὶ ἦλθεν πρὸς Ιουδαν, καὶ ἠσπάσαντο 29
ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἕτοιμοι ἦσαν ἐξαρπάσαι τὸν
Ιουδαν. [30]καὶ ἐγνώσθη ὁ λόγος τῷ Ιουδα ὅτι μετὰ δόλου ἦλθεν 30
ἐπ᾽ αὐτόν, καὶ ἐπτοήθη ἀπ᾽ αὐτοῦ καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ
πρόσωπον αὐτοῦ. [31]καὶ ἔγνω Νικάνωρ ὅτι ἀπεκαλύφθη ἡ βουλὴ 31
αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ Ιουδα ἐν πολέμῳ κατὰ Χα-
φαρσαλαμα. [32]καὶ ἔπεσον τῶν παρὰ Νικάνορος ὡσεὶ πεντακόσιοι 32
ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν Δαυιδ.

[33]Καὶ μετὰ τοὺς λόγους τούτους ἀνέβη Νικάνωρ εἰς ὄρος Σιων. 33
καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων καὶ ἀπὸ τῶν πρεσβυ-
τέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς καὶ δεῖξαι αὐτῷ τὴν
ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως. [34]καὶ ἐμυ- 34
κτήρισεν αὐτοὺς καὶ κατεγέλασεν αὐτῶν καὶ ἐμίανεν αὐτοὺς καὶ
ἐλάλησεν ὑπερηφάνως· [35]καὶ ὤμοσεν μετὰ θυμοῦ λέγων Ἐὰν μὴ 35
παραδοθῇ Ιουδας καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν,
καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ, ἐμπυριῶ τὸν οἶκον τοῦτον.
καὶ ἐξῆλθεν μετὰ θυμοῦ μεγάλου. [36]καὶ εἰσῆλθον οἱ ἱερεῖς καὶ ἔστη- 36
σαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου καὶ τοῦ ναοῦ καὶ ἔκλαυσαν
καὶ εἶπον [37]Σὺ ἐξελέξω τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά 37
σου ἐπ᾽ αὐτοῦ εἶναι οἶκον προσευχῆς καὶ δεήσεως τῷ λαῷ σου·
[38]ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ καὶ ἐν τῇ παρεμβολῇ 38
αὐτοῦ, καὶ πεσέτωσαν ἐν ῥομφαίᾳ· μνήσθητι τῶν δυσφημιῶν αὐ-
τῶν καὶ μὴ δῷς αὐτοῖς μονήν. [39]καὶ ἐξῆλθεν Νικάνωρ ἐξ Ιερου- 39
σαλημ καὶ παρενέβαλεν ἐν Βαιθωρων, καὶ συνήντησεν αὐτῷ δύνα-
μις Συρίας. [40]καὶ Ιουδας παρενέβαλεν ἐν Αδασα ἐν τρισχιλίοις ἀν- 40

24 τοις $2^0$] pr. και A† | εκπορευεσθαι SLa†] εκ > pl., πορευθηναι A pau. | την > A† || 25 ου > A pau. || 26 αυτου] pr. των S*† || 29 ετοιμοι ησαν] tr. A || 31 εν πολ. > A | χαφαρσαλαμα] χα > S*La$^p$ pau., χαρφαρσαραμα A† || 32 ως πεντακισχιλιοι(A† -λιους: sic!) ανδρες A pau. || 33 ορος] pr. το A pl. | εξηλθεν S || 35 εις χ. μου / το νυν] tr. A† | fin. μεγαλου > A pau. || 36 εκλαυσεν A† || 37 αυτου] -τον A || 38 εν $1^0$ > S† || 39 παρενεβαλεν] -λον A†